# 146. THE CLEANSING OF THE TEMPLE (Matt-Lk Identicals)

| Matt 21:12-17 | Luke 19:45-48 |
|---|---|
| *Καὶ εἰσῆλθεν Ἰησοῦς* | *Καὶ εἰσελθὼν* |
| *εἰς τὸ ἱερόν,* | *εἰς τὸ ἱερὸν* |
| *καὶ ἐξέβαλεν* | *ἤρξατο ἐκβάλλειν* |
| *πάντας τοὺς πωλοῦντας* | *τοὺς πωλοῦντας,* |
| *καὶ ἀγοράζοντας* | |
| *ἐν τῷ ἱερῷ,* | |
| *καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν* | |
| *κατέστρεψεν* | |
| *καὶ τὰς καθέδρας τῶν* | |
| *πωλούντων τὰς περιστεράς,* | |
| *13 καὶ λέγει αὐτοῖς,* | *46 λέγων αὐτοῖς,* |
| *Γέγραπται,* | *Γέγραπται,* |
| *Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται,* | *Καὶ ἔσται ὁ οἶκός μου οἶκος προσευχῆς,* |
| *ὑμεῖς δὲ αὐτὸν ποιεῖτε* | *ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε* |
| *σπήλαιον λῃστῶν.* | *σπήλαιον λῃστῶν.* |
| *14 Καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς.* | |
| *15 ἰδόντες δὲ* | *47 Καὶ ἦν διδάσκων τὸ καθ ἡμέραν ἐν τῷ ἱερῷ.* |
| *οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς* | *οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς* |
| *τὰ θαυμάσια ἃ ἐποίησεν καὶ τοὺς παῖδας τοὺς κράζοντας ἐν τῷ ἱερῷ καὶ λέγοντας, Ὡσαννὰ τῷ υἱῷ Δαυίδ, ἠγανάκτησαν* | |
| | *ἐζήτουν αὐτὸν ἀπολέσαι* |
| | *καὶ οἱ πρῶτοι τοῦ λαοῦ·* |
| *16 καὶ εἶπαν αὐτῷ, Ἀκούεις τί οὗτοι λέγουσιν ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς, Ναί· οὐδέποτε ἀνέγνωτε ὅτι Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον* | |
| | *48 καὶ οὐχ εὕρισκον τὸ τί ποιήσωσιν,* |
| | *ὁ λαὸς γὰρ ἅπας* |

| | |
|---|---|
| | *ἐξεκρέματο αὐτοῦ* |
| | *ἀκούων.* |
| *17 Καὶ καταλιπὼν αὐτοὺς* | |
| *ἐξῆλθεν* | |
| *ἔξω τῆς πόλεως* | |
| *εἰς Βηθανίαν,* | |
| *καὶ ηὐλίσθη ἐκεῖ.* | |

177 total words with 48 identicals = 27%